www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ὅσιον Λάζαρον τὸν Γαλλησιώτην

Ἦχος πλ.δ'

Ἅγιον Ὄρος

2018

# Ἕτερος εἰς τὸν Ὅσιον Λάζαρον τὸν Γαλλησιώτην, οὗ ἡ ἀκροστιχίς, κατ’ Ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.δ'

*Ὠιδὴ Α' Ἁρματηλάτην Φαραώ.*

Ἀρχὴ συμπάσης ἀοράτου κτίσεως, καὶ ὁρατῆς ὡς Θεός, Λόγε τοῦ Ἀνάρχου, τοῦ Πατρὸς συνάναρχε, τὴν σήν μοι χάριν δώρησαι, τοῦ ὁσίου σου μέλψαι, θείου Λαζάρου τὴν ἔνθεον, τὴν ἐξ ὑπαρχῆς διαβίωσιν.

Βασιλευόντων ἐμφανῶς ὁ πρύτανης, ἀρτιγενεῖ σε φωτί, ὄντι θεοφόρε, θείῳ περιηύγασε, παραδεικνὺς τὴν μέλλουσαν, πολιτείαν σου μάκαρ, δι’ ἧς τῷ κόσμῳ ἐξέλαμψας, τοῖς ἀσκητικοῖς ἀγωνίσμασι.

Γῆ ὥσπερ πίων ἡ ψυχή σου Ὅσιε, εἰσδεξαμένη Θεοῦ, λόγον ἀνεδείχθης, ἐραστὴς τοῦ κρείττονος, χριστομιμήτως Λάζαρε, εὐποιΐαις σχολάζων, δι’ ὧν ἐπλούτισας ἔνδοξε, τὴν ἐν οὐρανοῖς ἀγαλλίασιν.

*Θεοτοκίον.*

Ἱλαρωτάτης ἐκ ψυχῆς Πανάχραντε, τὸν πενιχρὸν τουτωνί, δεχομένη ὕμνον, τῷ Υἱῷ σου πρέσβευε, σὺν τῷ ὁσίῳ δοῦναί μοι, τῷ

Λαζάρῳ τῷ πάνυ, ἁμαρτιῶν μου τὴν ἄφεσιν,
ὅπως εὐχαρίστως δοξάζω σε.

*Ὠιδὴ Γ΄ Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Δαβιτικῶς ἐπιποθῶν, τῶν σκηνωμάτων
τρισμάκαρ, τοῦ Κυρίου μετανάστης ἐγένου,
τῆς πατρίδος καὶ ὁδόν, τὴν τεθλιμμένην
ὥδευσας, ἐν ταῖς ἐρήμοις Πάτερ,
ἐνδιαιτώμενος Λάζαρε.

Ἐκ τῆς Ἑώας ὡς ἀστήρ, τῇ οἰκουμένῃ
ἐκλάμψας, τῶν δαιμόνων τὴν σκοτόμαιναν
Πάτερ, ἐξηφάνισας καὶ νῦν, τῶν ὑμνητῶν
σου φώτισον, ψυχὰς ταῖς πρὸς τὸν Κτίστην,
πανευπροσδέκτοις πρεσβείαις σου.

Ζηλῶν ἐζήλωσας σοφέ, ὡς Ἠλιοὺ
θεομάκαρ, τῷ Κυρίῳ Παντοκράτορι ὤφθης,
ποδηγέτης ἀπλανής, πρὸς τὰς φερούσας
Λάζαρε, εἰς σωτηρίαν τρίβους, σημειοφόρε
πανόλβιε.

*Θεοτοκίον.*

Λύσιν ὁ κόσμος διὰ σοῦ, τετυχηκῶς
Παναγία, κατακρίσεως τῆς πρὶν δυσωπεῖ σε,
τῶν γλωσσάλγων δυσμενῶν, ἐρεσχελίας
σκέδασον, τῶν νῦν ἐπεμβαινόντων, ποίμνῃ
τῇ σῇ Παναμώμητε.

*Ὠιδὴ Δ΄ Σύ μου ἰσχύς.*

Ἡ ἐν τῇ γῇ σὴ πολιτεία ἐξέπληξε,
ἀσωμάτων τοὺς χοροὺς μακάριε, καθάπερ

ἄσαρκος περιών, Λάζαρε βιώσας, ἐν οὐρανοῖς συνηρίθμησαι, αὐτοῖς μεθ’ ὧν ἀπαύστως, τῷ Χριστῷ ἀναμέλπεις, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Θαυματουργῶν, τοῖς σοὶ προστρέχουσιν Ὅσιε, ἐν τῷ βίῳ, παντὶ διετέλεσας, καὶ μετὰ πίστεως τῇ σορῷ, τῇ σῇ προσιοῦσι, καὶ μετὰ πότμον ἀκένωτον, νοσούντων ἰατρεῖον, τῶν σωμάτων ἐδείχθης, καὶ ψυχῶν παναοίδιμε ἄμισθον.

Ἱερουργῶν, ὡς ἱερεὺς ἐννομώτατος, τῷ Κυρίῳ τὰς εὐχάς σου Λάζαρε, μύρον προσέφερες τῷ Θεῷ, εὐωδίας πλῆρες, τοῦτον ἀεὶ ἐλεούμενος, καὶ τῶν ὑπεναντίων, τὰς ἐφόδους ἀπείργων, τῶν δεινῶν ἀλαστόρων τρισόλβιε.

*Θεοτοκίον.*

Ἁμαρτωλῶν, σὲ προστασίαν γινώσκομεν, ὡς τὸν Λόγον, ἐν γαστρὶ χωρήσασαν, τὸν τῇ συμπάσῃ μὴ χωρητόν, κτίσει Θεοτόκε, καὶ νῦν τοὺς πίστει αἰτοῦντάς σε, πταισμάτων δίδου λύσιν, καὶ πυρὸς αἰωνίου, ταῖς πρεσβείαις σου Κόρη ἐκλύτρωσαι.

*Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.*

Κατοικεῖν ᾑρετίσω, ἐν τῷ στύλῳ Ὅσιε ὥσπερ μετέωρος, τὸν νοῦν πρὸς τὰ ἄνω, ὅλως ἔχων ταῖς θείαις ἐλλάμψεσι, ἐντρυφῶν

παμμάκαρ, ὥσπερ τις ἄγγελος ἐν ὕλῃ, θεοφόρε ὁσίων ἀγλάϊσμα.

Λύχνος φαίνων ὡράθης, τοῖς ἐν σκότει ὅσιε κειμένοις Λάζαρε, τῶν παθῶν καὶ τρίβος, ἀπλανὴς σωτηρίας καὶ ἔσοπτρον, Πνεύματος Ἁγίου, ὡς ὑπερόπτης τῶν κειμένων, τῶν χαμαί τουτωνὶ ἀξιάγαστε.

Μιμητὴς ἀνεδείχθης, τοῦ τῶν ὅλων πάνσοφε Δεσπότου ὅσιε, βάσιν κεκτημένος ἀρετῶν κορωνίδα πανόλβιε, τὴν ὑψοποιοῦσαν, καὶ ἀληθῶς θεοποιοῦσαν, τοὺς αὐτῇ σθεναρῶς προσεδρεύοντας.

*Θεοτοκίον.*

Ῥύπον ὅλως μὴ σχοῦσαν, ἐν γαστρὶ συνέλαβες τὸν πάντων Κύριον, καὶ ἀδιαφθόρως, τοῦτον Κόρη τῷ κόσμῳ ἐγέννησας, καὶ μετὰ τὸν τόκον, καθώσπερ πρὶν Παρθενομῆτορ, ἀληθῶς ἀειπάρθενος ἔμεινας.

*Ὠιδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.*

Νηστείᾳ καὶ προσευχῇ, δυσὶ καθάπερ ὑψούμενος, ταῖς πτέρυξι πρὸς Θεόν, τὰ τούτου κατέφθασας, σκηνώματα Λάζαρε, τὰ πεποθημένα, καὶ ἀσάλευτα μακάριε.

Ξηρὸν τὸ Ὄρος σοφέ, καταλαβὼν τὸ Γαλλήσιον, ἱδρῶσιν ἀσκητικοῖς, θεόφρον

κατήρδευσας, συναγείρας Ὅσιε, μοναστῶν χορείας, εἰς Θεοῦ τὴν εὐαρέστησιν.

Ὁ βίον ἀγγελικόν, ἐπὶ τῆς γῆς ἐνδειξάμενος, καὶ νῦν τοῖς ἄνω χοροῖς, συνὼν τὸν τρισάγιον, τῇ Τριάδι ὅσιε, ὕμνον ἀναμέλπεις, θεῖε Λάζαρε πατὴρ ἡμῶν.

*Θεοτοκίον.*

Ἱλάσθητί μοι Ἁγνή, τῷ ἐπὶ σοὶ καταφεύγοντι, καὶ τῶν παθῶν μου δεινόν, φλογμὸν καταδρόσισον, πρίν με διαζεύξεως, ὥρα καταλάβῃ, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος.

*Ὠιδὴ Ζ΄ Παῖδες Ἑβραίων.*

Πῦρ τῶν παθῶν ἐναποσβέσας, ἀπαθείας τῷ λιμένι προσωρμίσθης, τὴν ᾠδὴν μελωδῶν, τῶν παίδων θεοφόρε, εὐλογητός εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ῥῶσιν καὶ ἴασιν παρέχεις, τοῖς ἐν πίστει προστρέχουσί σοι μάκαρ, ὡς θεράπων Χριστοῦ, Λάζαρε τοῦ Δεσπότου, καὶ νῦν τῶν μελωδούντων σε, τῶν πταισμάτων λύσιν αἴτει.

Σκέπη σοι ὤφθη ἐν τῷ στύλῳ, ἡ Πανάμωμος Παρθένος τὰς τῶν ὄμβρων, καὶ χιόνων ὁρμάς, ἀπείργουσα τρισμάκαρ, ὡς ὄντως θαυμαστὴ αὐτῆς, ἡ περὶ σὲ κηδεμονία.

*Θεοτοκίον.*

Ὤφθη ἡ βάτος τῷ θεόπτῃ, ἐν τῷ Ὄρει τῷ Σινᾷ φλογιζομένη, ἐνταυτῷ ἀσινής, ὡς προδιατυποῦσα, τὸν τόκον σου Πανύμνητε, Μαριὰμ εὐλογημένη.

*Ὠιδὴ Η΄ Ἑπταπλασίως κάμινον.*

Τὸ χεῖρον καθυπέταξας, θεοφόρε τῷ κρείττονι, τὰ τοῦ κόσμου πάντα, πάντῃ ἀρνησάμενος, Χριστῷ συγγινόμενος, ἀδιαλείπτῳ τῇ προσευχῇ, καὶ ἀγγελικῶς τὴν βιοτὴν ἐκτελέσας, καὶ νῦν σὺν τοῖς ὁσίοις, ἐν μοναῖς ἀκηράτοις, τὸν Κύριον τῆς δόξης, ὑμνεῖν εἰς τοὺς αἰῶνας.

Ὑπογραμμὸς γεγένησαι, τοῖς συνοῦσι θεόπνευστε, τῶν τῆς ἁμαρτίας, τούτους ἐκλυτρούμενος, ἀρκύων μακάριε, τῇ πατρικῇ σου θείᾳ φωνῇ, καὶ τῷ Λυτρωτῇ προτρέπων τούτους ἐπάδειν, τὸν Κύριον ὑμνεῖτε, τῶν ὁσίων οἱ δῆμοι, ἀεὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Φιλοσοφῶν διήνυσας, τὸν ἐπίκηρον ἅγιε, δίαυλον συντόνως, τὰς εὐχὰς πληρούμενος, θεότητι Λάζαρε, τῇ Τρισηλίῳ μέλπων πιστῶς, Πάτερ καὶ Υἱέ, καὶ τὸ Πανάγιον Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, σωτηρίαν παράσχου, τοῖς σὲ ὑμνολογοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

www.tezaurliturgic.ro


Νοός μου Παναμώμητε, ἐκτροπὰς ἐξωμάλυνον, καὶ τῇ σωτηρίῳ, ἐσαεὶ ἐνίσχυσον, προσμένειν ἀκλόνητον, χριστομιμήτῳ ὑπακοῇ, ἅμα τε αὐτῇ, φιλαδελφίαν παράσχου, μελέτην τε τῶν θείων, θεοπνεύστων λογίων, ἡ Κεχαριτωμένη, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ' Ἐξέστη ἐπὶ τούτῳ.*

Χαρᾷ καὶ εὐφροσύνῃ πνευματικῇ, συνελθόντες φαιδρῶς ἑορτάσωμεν, ἐν τῷ σεπτῷ, τῶν θεοπατόρων θείῳ ναῷ, μνήμην τὴν πανεόρτιον, τοῦ κλεινοῦ ὁσίου καὶ θαυμαστοῦ, Λαζάρου τοῦ τὸν βίον, ἐν Ὄρει Γαλλησίῳ, ἀσκητικῶς ἐκπεραιώσαντος.

Ψυχῶν σε καὶ σωμάτων ὡς ἰατρόν, ἐγνωκότες ὁσίων τὸ καύχημα, πανευλαβῶς, ὕμνοις ἐγκωμίων πνευματικοῖς, τὴν ἱεράν σου στέφομεν, Λάζαρε καὶ θείαν σου κορυφήν, οἱ σοὶ φερωνυμοῦντες, ὧν τὰ πρὸς σωτηρίαν, ταῖς ἱκεσίαις σου πρυτάνευσον.

Ὡς Ἄγγελος ἐβίωσας ἐπὶ γῆς, παμμακάριστε πάτερ καὶ ἔφθασας, ἐν ταῖς σκηναῖς, τῶν ὁσίων πάντων ἐν οὐρανοῖς, μεθ' ὧν καὶ παριστάμενος, τῇ Τριάδι μέλπεις ἀνελλειπῶς, ἣν Λάζαρε δυσώπει, ἡμᾶς τῇ τῶν Πατέρων, πίστει ἑδραίους διασῴζεσθαι.

*Θεοτοκίον.*

Μαρία τὸ γλυκύτατον καὶ βροτοῖς, καὶ Ἀγγέλοις πανάγιον ὄνομα, Μῆτερ Θεοῦ, ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ, καὶ τουτονί τὸ Ὄρος σου, Ἄθω κατοικοῦντας κλῆρον τὸν σόν, ἐν τῷδε εἰρηνεύειν, τῷ βίῳ ἡμῖν δίδου, ζωῆς τῆς ἄνω τε ἀξίωσον.

*Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄*

Ὄντως ἐκ παίδων μακάριε, τῶν γεηρῶν ἀποστάς,, τῷ Χριστῷ ἠκολούθησας, τοῦ δολίου δράκοντος, κατασπάσας τὰ ἔνεδρα, ὑποπιάζων καθάπερ ἔφησε, Χριστοῦ τὸ σκεῦος, τῆς ἐκλογῆς ἀληθῶς, τὴν σάρκα ὅσιε, ἐν ἀγῶσι Λάζαρε ἀσκητικοῖς, ὅθεν καὶ ἠξίωσαι, τῆς ἀθανάτου ζωῆς.

Θαύμασιν ἐν γῇ διέλαμψας, ὡς κεκτημένος Χριστόν, ἐνασκήσας τὴν ἄϋλον, τῶν Ἀγγέλων ὅσιε, πολιτείαν ἐν σώματι, καὶ νῦν μὴ παύσῃ καθιλεούμενος, αὐτὸν τρισμάκαρ ἡμῖν τὴν ἄφεσιν, τοῖς ἀνυμνοῦσί σε, καὶ φερωνυμοῦσί σε, ἁμαρτιῶν, Λάζαρε χαρίσασθαι, ὡς πολυέλεος.

Στύλῳ ἐπιβὰς θεόπνευστε, τὰς τῶν στοιχείων ὁρμάς, ἀνενδότως ὑπέμεινας, ἔχων περισκέπουσαν, τὴν Ἁγνὴν Θεομήτορα, καὶ παρατάξεις, εἰς τέλος ἔτρεψας, τῶν ἐναντίον δαιμόνων ἅγιε, σπεύδων τῆς ἄνωθεν, τὸ βραβεῖον κλήσεως ἐπιτυχεῖν, καὶ συνεῖναι ὅσιε, τῷ ποθουμένῳ Χριστῷ.

Δέσποινα ἁπάντων Ἄνασσα, σὺν ἀσωμάτων χοροῖς, Ἀποστόλοις καὶ Μάρτυσι, καὶ Προφήταις ἅπασι, καὶ Ὁσίων τοῖς τάγμασι, Ἰωακείμ τε τῷ σῷ γεννήτορι, καὶ Ἄννῃ θείᾳ θεοπρομήτορι, καὶ θεομάκαρι, τῷ Λαζάρῳ Ἄχραντε τὸν σὸν Υἱόν, Χριστὸν δυσωπήσατε, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Μεγαλυνάριον.*

Ὁσίων ἐδείχθης καθηγεμών, τῶν ἐν Γαλλησίῳ, καὶ δαιμόνων ὀλοθρευτής, ἐνασκήσας Πάτερ, ἐν ὕλῃ τῶν Ἀγγέλων, Λάζαρε πολιτείαν θεομακάριστε.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ